# XV

## ΑΠΟΛΟΓΙΑ ΔΙΑΛΕΚΤΙΚΗ ΠΡΟΣ ΛΑΤΙΝΟΥΣ

f 237 v

*Λατῖνος.* Ὡς λίαν ὑπερήφανον τὸ τῶν Γραικῶν γένος! Ὅτι καὶ τῆς βασιλείας ἐξ αὐτῶν ἀφαιρεθείσης, ἔτι τῇ οἰήσει ἐπαίρονται, καὶ δοκοῦσι κρείττω εἰδέναι τῆς Ῥωμαϊκῆς Ἐκκλησίας· οὐ μόνον δέ, ἀλλὰ καὶ ἀποστρέφονται τοὺς ταύτης κοινωνοὺς ὡς ἐπιβούλους καὶ αἱρετικούς, χριστιανοὺς ὄντας ὀρθοδόξους, εὐμενεῖς τε καὶ ἠπίους, καὶ τοὐναντίον ἀποδεχομένους Γραικοὺς καὶ μὴ σχιζομένους ἀπ' αὐτῶν, μόνον εἴπερ καὶ αὐτοὶ τὰ ὅμοια ἐτήρουν ἡμῖν.

*Γραικός.* Τοὐναντίον μᾶλλον, ὦ Ἰταλέ. Λίαν ὑμεῖς ὑπερήφανοι καὶ ἄσπονδοι καὶ σχίσμασι χαίροντες, πρὸς δὲ καὶ βιαστικοὶ καὶ ἐξύπουλοι, ὡς ἐξ ἐμοῦ ἤδη γνώσῃ σαφέστατα, εἴπερ δήπου καὶ ἀγνοεῖς. Τῆς γὰρ βασιλείας ἀπορραγέντες ὑμεῖς, κἀντεῦθεν ἐξασθενησάσης, οὐ μόνον οὐκ ἐπεκουρήσατε αὐτῇ ἐν τοῖς ἐπερχομένοις πολέμοις, ἀλλὰ καὶ αὐτοὶ πολέμιοι ταύτῃ καὶ τύραννοι κατὰ διαφόρους καιροὺς εὑρέθητε· ὅθεν ἡ παντελὴς καταστροφὴ τῆς Ῥωμαϊκῆς πολιτείας κατωρχήσατο. Πρὸς δὲ καὶ προσθήκαις ἀλλοκότοις τὴν καθολικὴν καὶ ἁγίαν πίστιν ἐκιβδηλώσατε. Καὶ οὐ μόνον μέχρις ὑμῶν τὸ κακὸν στέργετε ὁρᾶν, ἀλλὰ καὶ ἡμᾶς κοινωνοὺς ἡμῖν τῆς κακίας γενέσθαι βιάζετε, τῷ παραβῆναι τὰς ἀποστολικὰς καὶ πατερικὰς παραδόσεις. Ἡμεῖς δέ, ὅσον τὸ ἐφ' ἡμῖν, οὔτ' ἀποστάται τῆς ἁγίας καὶ καθολικῆς Ἐκκλησίας γεγόναμεν, οὔτε ἑτέρους βιάζομεν προσθεῖναι τῷ ἡμετέρῳ δόγματι, ἑπόμενοι τοῖς τῶν ἁγίων Πατέρων δόγμασι σὺν πάσῃ εὐσεβείᾳ τε καὶ εὐπειθείᾳ, ἕκαστον ἀφέντες κατὰ τὸ δοκοῦν αὐτῷ θρησκεύειν, μηδὲν βιάζοντες, παραινέσει δὲ μάλιστα καὶ οἰκείᾳ προαιρέσει καὶ τοὺς ἀποσχισθέντας τῆς ὀρθῆς πίστεως βουλόμενοι συνάπτειν, ἐπεὶ καὶ Θεῷ καὶ χριστιανοῖς τοῦτο δοκεῖ. Ὑμῶν τοίνυν πρώτων ἐξ οἰήσεως τῆς καθολικῆς Ἐκκλησίας ἀπορραγέντων, εἰκότως ἡμεῖς τὴν κοινωνίαν ‖ μυσάττομεν, κρατοῦντες τὸ διὰ τῶν ἁγίων οἰκουμενικῶν Συνόδων κυρωθὲν ἅγιον Σύμβολον, κἂν ὑφ' ὑμῶν καὶ ἑτέρων ἐθνῶν τυραννούμεθα. Θαῦμα δ' οὐδέν, εἴπερ ἡμᾶς οὐ μέμφεσθε τῆς πίστεως, μηδὲν ἔχοντες ἐγκαλεῖν· ὅπου γε καὶ μονοφυσίτας καὶ λοιποὺς αἱρετικούς, ἀνέκαθεν παρὰ τῶν ἁγίων Πατέρων ἀφορισθέντας, ὑμεῖς ἀποδέχεσθε, καὶ οὐδὲν διαφέρειν φάσκετε χριστιανὸν χριστιανοῦ.

f 238r

[1]) Κώδ. Ἀμβρ. 290 fol. 237v—240r καὶ Ναν. 125 fol. 143—145. [4]) τοὺς τοιούτους Ν.

[17]) στέγετε Α [25]) ἐπεὶ καὶ Χριστῷ Ν [26]) πρῶτον Ν [27]) μυσαττόμεθα Ν

fol. 237v—240r καὶ Ναν. 125 fol. 143—145.

Ε.ΔΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἰταλὸς Ἔοικεν ἀγνοεῖν σε τὴν ἐν Φλωρεντίᾳ γενομένην οἰκουμενικὴν Σύνοδον, ἥτις διὰ τὰς τοιαύτας φιλονεικίας συναθροισθεῖσα, καὶ ἀκριβῶς ἐξετάσασα τῶν μερῶν ἀμφοτέρων τὴν γνώμην, οὐδὲν πρὸς τὴν ὀρθὴν πίστιν εὗρε διαφερομένους· διά τοι τοῦτο καὶ τὴν προσθήκην οἰκείως ἔχειν ἀποφηναμένη τὰς τοιαύτας στάσεις καὶ τὰ σχίσματα ἔπαυσεν.

Γραικὸς Οὐδὲν θαυμαστὸν τὴν τοιαύτην Σύνοδον ὡς ἄθεσμον ἢ καὶ ὑφ' ἑαυτῆς ἀνατραπεῖσαν ἀγνοεῖν. Καὶ γὰρ τοιαῦται πολλαὶ γεγόνασι κατὰ διαφόρους καιρούς, ἃς ὀλίγοι τινὲς ἴσασι τῶν φιλολόγων, διότι εἰς ἀνατροπὴν τῆς ὀρθοδόξου πίστεως ἐδογμάτισαν. Τὰς δὲ ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ Συνόδους, ἀλλὰ δὴ καὶ τὰς τοπικάς, αἵτινες εἰς σύστασιν τῆς ἁγίας συνῆλθον Ἐκκλησίας, πάντες ἴσμεν καὶ ἀσπαζόμεθα καὶ ἀποδεχόμεθα.

Ἰταλὸς Οὐκ ἄρα καὶ αὕτη εἰς σύστασιν τῆς ἁγίας Ἐκκλησίας συνηθροίσθη, ἀλλ' εἰς ἀνατροπὴν καὶ μᾶλλον ἑαυτῆς;

Γραικὸς Οὕτως ἔχει, καὶ ὅπως ἐξετάσωμεν. Πάντως αἱ τοιαῦται τῶν Πατέρων Σύνοδοι γίνονται, οὐχ ἵνα τὰ προεξετασθέντα θεωρήσωσιν, ἀλλ' ἵνα τὰ νεωστὶ ἀναφυέντα δόγματα παύσωσι, καὶ κυρώσωσι τὴν ἐκ τῶν ἁγίων Ἀποστόλων παραδοθεῖσαν πίστιν, ἢ οὔ;

Ἰταλὸς Ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦτο.

Γραικὸς Οὐχ ὡς ἐπὶ τὸ πλεῖστον, ἀλλὰ πάντοτε. Καὶ γὰρ ἡ πρώτη ἁγία
238v καὶ οἰκουμενικὴ Σύνοδος || κατὰ Ἀρείου συνηθροίσθη, κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ δογματίζοντος· ἡ δευτέρα κατὰ Μακεδονίου τοῦ πνευματομάχου, ἔτι τε κατὰ Ἀπολιναρίου καὶ Σαβελλίου τῶν ἀνοήτων· ἡ τρίτη κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου· ἡ τετάρτη κατὰ τῶν Μονοφυσιτῶν, Εὐτυχοῦς καὶ Διοσκόρου· ἡ πέμπτη κατὰ Ὠριγένους, Εὐαγρίου τε καὶ Διδύμου, οἵτινες ἀνάστασιν τῶν ἡμετέρων σωμάτων ἀπεβάλλοντο, προϋπάρχειν δὲ τὰς ψυχὰς τῶν σωμάτων, καὶ τὴν μετεμψύχωσιν ἑλληνικῶς ἐδογμάτιζον, καὶ τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, καὶ τὸν Χριστὸν ὅμοιον ἡμῖν εἶναι κατ' οὐδὲν διαφέροντα, τόν τε παράδεισον ἠλληγόρουν, μήτε γεγενῆσθαι παρὰ Θεοῦ, μήτε εἶναι αἰσθητὸν παράδεισον, μήτε ἐν σαρκὶ πλασθῆναι τὸν Ἀδάμ· ἡ ἕκτη κατὰ τῶν Μονοθελητῶν· ἡ ἑβδόμη κατὰ τῶν Εἰκονομάχων· γέγονε δὲ μετὰ τὴν ἑβδόμην καὶ ἡ πρώτη καὶ δευτέρα λεγομένη, ὅτι ἐκ δευτέρου συνηθροίσθη, ἵνα αὐτὴν τὴν ἑβδόμην βεβαιώσῃ καὶ περί τινων ἑτέρων σκέψασθαι· ἀπεκατέστησε γὰρ τὸν Φώτιον εἰς τὸν οἰκεῖον θρόνον, ἐγένετο δὲ καὶ συζήτησις περὶ τῆς προσθήκης τῆς ἐν τῷ ἁγίῳ Συμβόλῳ, συμπαρόντων καὶ τῶν τοποτηρητῶν τοῦ Πάπα Ἰωάν-

**⁵) ἀποφήνασα N ¹⁷) Κυρῶσαι A ¹⁵) Ρωμαῖος N**

Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

νου, Εὐγενίου καὶ Παύλου ἐπισκόπων καὶ Πέτρου πρεσβυτέρου καὶ καρδιναλίου· συνωμολόγησαν δὲ αὐτοί τε οἱ τοποτηρηταὶ καὶ ὁ Πάπας μετὰ ταῦτα δι' ἐπιστολῆς μὴ εἶναι ἕτερον σύμβολον, εἰμὴ τὸ παρὰ τῶν προλαβουσῶν ἑπτὰ οἰκουμενικῶν Συνόδων βεβαιωθέν, τὸν δὲ παρὰ τοῦτο ἕτερον ὁμολογοῦντα ἢ προσθήσοντα ἢ ἀφαιρήσοντα εἶναι κατάκριτον καὶ τῆς χριστιανικῆς πολιτείας ἀπόβλητον. Αὕτη τοιγαροῦν ἡ Σύνοδος, ὡς ταῖς προλαβούσαις συνᾴδουσα, εἰκότως ἂν καὶ ὀγδόη καλοῖτο καὶ οἰκουμενική, ὡς συμψήφων γενομένων τῶν πέντε Πατριαρχῶν καὶ διὰ τοῦτο βεβαιωθεῖσα. Ἡ δὲ ἐν Φλωρεντίᾳ οὔτε ὀγδόη, οὔτε μὴν ἐνάτη, ὡς μὴ συμφωνοῦσα ταῖς προλαβούσαις, οὔτε μὴν ἔμπεδος, ὡς μὴ ἐπὶ τούτῳ συναθροισθεῖσα· καὶ γὰρ οἱ Ἀνατολικοὶ διὰ τὸ καταστῆσαι τοὺς Δυτικοὺς || εἰς τὸ πρῶτον δόγμα συνεγέ- f 239r
νοντο, οἱ δὲ Δυτικοὶ τὸ ἔμπαλιν ὅπως καὶ τοὺς Ἀνατολικοὺς εἰς τὸ σφέτερον δόγμα συνελκύσωσι· ταύτῃ καὶ πολὺς καιρὸς διὰ πολλῶν συνελεύσεων ἐξετρίβη, ἀμφοτέρων τῶν μερῶν ἐνισταμένων.

Ἐπεὶ οὖν οἱ ἡμέτεροι ἑώρων ὡς κενὸς ὁ σκοπὸς αὐτῶν καὶ ὁ κόπος, καὶ ὅτι ἅμα σὺν βασιλεῖ καὶ δεσπότῃ παρεγένοντο ἐν ἀλλοτρίᾳ γῇ, καὶ κίνδυνος αὐτοῖς πάντοθεν καὶ στενοχωρία τῶν ἀναγκαίων, ὁ μὲν πρόκριτος αὐτῶν εὐλόγως, Μᾶρκος δ' οὗτος ἦν ὁ τῆς Ἐφεσίων Ἐκκλησίας πρόεδρος, ἀπογνοὺς τῆς τῶν Λατίνων ἐπιστροφῆς, καὶ μᾶλλον διὰ τὴν συνέχουσαν αὐτὸν ἀσθένειαν, ἐνώπιον τῆς συνόδου μόνον τὸν Πατέρα εἶναι αἴτιον τοῦ Πνεύματος οὐ μὴν καὶ τὸν Υἱὸν ὁμολογήσας ἀνεχώρησεν. Οἱ δὲ λοιποὶ συνελθόντες αὖθις καὶ ἅπαξ καὶ δίς, μηδένα ἔχοντες τὸν προϊστάμενον κατ' ὀλίγον συνέθεντο τοῖς Λατίνοις, προδιεφθαρμένοι τινὲς τούτων λαμπραῖς ἐπαγγελίαις καὶ δόμασιν, ἐπιποθοῦντες ἅμα καὶ τὴν εἰς τὰ ἴδια ἐπαναστροφήν.

Ἐπιστρέψαντες δὲ καὶ γνόντες ὅσον κακὸν πεποιήκασι καὶ μάλισθ' ὅτι ἠλέγχθησαν ὑπὸ τῶν μὴ συμπαρόντων τῇ συνόδῳ λοιπῶν πατριαρχῶν καὶ ἐπισκόπων, μετεβάλλοντο μέν, ἦσαν δὲ καὶ οὕτως ἐν μεγάλῃ συγχύσει, μὴ ἔχοντες ὅπως συνοδικῶς αὖθις τὴν τοιαύτην ἀνομίαν ἐλέγξωσι διὰ τὰ ἐπανιστάμενα τότε τῇ βασιλείᾳ κακά. Ὅθεν μετὰ πεντήκοντα ἔτη συναθροίζεται τῶν τε τεττάρων πατριαρχείων σύνοδος, καὶ ἀνακρίνασα τὰ κατὰ τὴν Ἰταλίαν ἀθέσμως γενόμενα, τὴν μὲν ἐξ ἀρχῆς ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων Πατέρων πίστιν ὡς εἶχεν ἐκράτυναν, ἀπεβάλλοντο δὲ τὴν ἐπὶ Ἰωάννου τοῦ βασιλέως ἐν Ἰταλίᾳ γενομένην σύνοδον, ὡς εἰς ἀνατροπὴν γενομένην τῆς ὀρθοδόξου πίστεως.

Εἰ οὖν ἐξ ἀνάγκης συνέθεντο Γραικοὶ τοῖς Λατίνοις ἐν Ἰταλίᾳ Ἰταλός

14) ἐν τῇ ᾤᾳ: δεύτερον ἔτος.

καὶ διὰ τοῦτο παλινῳδίαν ᾖσαν, τίνος χάριν τοῦ Πάπα Ῥώμης ἐλθόντος ἐν τῇ Κωνσταντίνου || [f 239v] εἰς συμβιβασμόν, οὐ μόνον ὅτι εἰς λόγους ἐλθεῖν οὐκ ἐθελήσατε, ἀλλ' οὐδὲ ἐάσατε εἰσελθεῖν ἐν τῇ πόλει;

*Γραικὸς* Περὶ τούτου οὐκ οἶδα· εἰ δὲ καὶ ἐλθόντα ἐδίωξαν, γινώσκοντες ὅτι οὐ δι' εἰρήνην ἦλθεν, ἀλλὰ δι' ἀναστάτωσιν, τοῦτο ἐποίησαν. Καὶ τοῦτο τεκμήριον, ὅτι ἐξ ἀνάγκης καὶ ἀπάτης συνῆλθον Ῥωμαῖοι Φράγγοις, ὥστε τὰ αὐτὰ ὁμολογεῖν, εἴπερ τὸν Πάπαν ἀφικόμενον πρὸς αὐτοὺς οὐ προσεδέξαντο ὡς λυμεῶνα.

*Ἰταλὸς* Ἔστω, ὅτι παρ' ἡμῶν ἡ αἰτία τοῦ σχίσματος διὰ τὴν προσθήκην, ὡς εἴρηκας. Τί τὸ κωλῦον καὶ ὑμᾶς καὶ ἡμᾶς ἀνὰ μέρος ἀμφότερα ὁμολογοῦντας τὰ σύμβολα, μετά τε τῆς προσθήκης καὶ ἄνευ ταύτης, εἰρηνεύειν καὶ μηδὲν διαφέρεσθαι;

*Γραικὸς* Ἔδει σε εἰπεῖν, τί τὸ κωλῦον ὑμᾶς ἄνευ τῆς προσθήκης ὁμολογεῖν, ἐπεὶ καὶ εὔλογον καὶ οὕτως ἀπηλλάχθαι πραγμάτων. Πλὴν πολλὰ τὰ αἴτια· πρῶτον μέν, ὅτι διαφερόμεθα κατὰ τὸ δόγμα· δεύτερον δέ, ὅτι ἡ τοιαύτη προσθήκη καὶ τῷ τυχόντι νοεῖν δίδωσιν ἓν ἐκ δυοῖν: ἢ ὅτι μία ἡ ὑπόστασις Πατρὸς καὶ Υἱοῦ, ἐξ ὧν τὸ Πνεῦμα, ἢ δύο μέν, διπλοῦν δὲ τὸ Πνεῦμα, ὡς ἐκ δύο αἰτιῶν, καὶ ἡ ἐκπόρευσις διάφορος· τρίτον, ὅτι τὸ ἅγιον Σύμβολον ἅπαν ἐκ τῆς θείας Γραφῆς ἔχει τὰς μαρτυρίας, αὕτη δὲ μόνη ἡ προσθήκη οὐδαμοῦ ἐμφέρεται ἐν ταῖς Γραφαῖς, καὶ κίνδυνος ὅτι μέγιστος τὰ ἄγραφα δόγματα δέχεσθαι· τέταρτον, ὅτι εἰ τὴν προσθήκην ταύτην παραδεξόμεθα, καὶ ἕτεροι τὰ ὅμοια ἐπιχειρῆσαι τολμήσουσιν, ὥστε προστιθέναι ἢ ἀφαιρεῖν· πέμπτον, ὅτι κἂν ἡμεῖς οἱ Γραικοὶ συνθώμεθα ὑμῖν, ἀλλ' οὐ ῥᾴδιον καὶ τὰ λοιπὰ ἔθνη, οἷον Παίονες, Σκύθαι, Σαρμάται, Σύροι τε καὶ Ἄραβες καὶ λοιπὰ ἔθνη ἀλλόγλωσσα πρὸς δὲ καὶ ἀλλογράμματα τυγχάνοντα, ἀλλ' οὐδὲ τὰ λοιπὰ τρία Πατριαρχεῖα, ὥσπερ οὐδὲ ἐπὶ τῆς ἐν Φλωρεντίᾳ συνόδου, καὶ δῆλον ἐκ τῆς μετὰ ταῦτα μεταμελείας, καὶ συμβαίνει διὰ τῆς κακῆς πρὸς || [f 240r] ὑμᾶς συγκαταβάσεως ἀπολέσαι τὴν πρὸς τοὺς λοιποὺς ἀρχαίους ἀγαθὴν κοινωνίαν· ἕκτον, ὅτι ὀκνηροτέρους ποιοῦμεν τοὺς λοιποὺς αἱρετικοὺς εἰς ἐπιστροφήν, εἴπερ ἀκούσωσιν, ὅτι τὸ ἐξ ἀρχῆς ἐκτεθὲν ἅγιον Σύμβολον ἠθετήσαμεν· ἕβδομον, ὅτι καὶ ἀραὶ φρικωδέσταται παρὰ τῶν ἁγίων Πατέρων ἐξεφωνήθησαν κατὰ τῶν τολμησόντων καθ' οἱονδήτινα τρόπον μεταποιῆσαι τὸ ἅγιον Σύμβολον· καὶ πολλὰ τοιαῦτά εἰσι τὰ κωλύοντα. Διὸ δεῖ τηρεῖν τὰ παρὰ Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ καὶ τῶν ἁγίων Πατέρων δοκιμασθέντα τε καὶ παραδοθέντα, καὶ οὕτως ἔχειν κατὰ πάντων τὸ νῖκος.

*Ἰταλός* Εἰ ἤθελεν ὁ Πάπας, εὐκόλως ἂν ἡνούμεθα, εἰς τὸ πρῶτον συνελθόντες δόγμα.

*Γραικός* Ὡς εἶπον, ὑπερήφανοι ὄντες, οὐ βούλεσθε ἐπιστρέψαι ἐκ τῆς κακίας ὑμῶν, αἰσχυνόμενοι τὴν μεταβολήν. Ἐπεί, εἴπερ ἠθέλετε, καὶ μὴ βουλομένου τοῦ Πάπα, ἐχειροτονήσατε ἂν ἕτερον ἀντ' αὐτοῦ, καὶ οὕτως ἔπαυσαν τὰ σχίσματα. Καὶ γὰρ καὶ Ὀνώριος ἄλλοτε Ῥώμης καὶ Κῦρος Ἀλεξανδρείας, Σέργιός τε καὶ Πύρρος, Παῦλος καὶ Πέτρος Κωνσταντινουπόλεως ἐπίσκοποι, ἓν θέλημα καὶ μίαν ἐνέργειαν ὁμολογοῦντες ἐπὶ Χριστοῦ ἀπεβλήθησαν, καὶ οὕτως εἰρήνευσεν ἡ Ἐκκλησία. Εἰ οὖν οἱ πολλοὶ ἀπεβλήθησαν, πολλῷ μᾶλλον ὁ εἷς παρὰ τῶν πολλῶν δυνατὸν ἀποβληθῆναι.

## XVI.

## ΠΕΡΙ ΣΥΛΛΗΨΕΩΣ ΤΕ ΚΑΙ ΓΕΝΝΗΣΕΩΣ ΤΗΣ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΤΗΣ ΜΗΤΡΟΣ ΑΥΤΟΥ

f 253r

*Πρόβλημα* Κατηγοροῦσιν ἡμῶν οἱ Λατῖνοι, ὅτι τὴν μὲν γέννησιν τῆς Θεοτόκου τῇ ὀγδόῃ τοῦ Σεπτεμβρίου μηνὸς ἑορτάζομεν, τὴν δὲ σύλληψιν οὐ τῇ ὀγδόῃ, ἀλλὰ τῇ ἐνάτῃ τοῦ Δεκεμβρίου, ἀνάρμοστον τοῦτο ἡγούμενοι, οἰκεῖον δὲ τὸν καιρὸν τῆς Χριστοῦ γεννήσεως τῷ τοῦ Εὐαγγελισμοῦ κατὰ τὰς ἡμέρας τοῦ μηνός.

*Ἀπόκρισις* Πρὸς τοῦτο λέγομεν, ὅτι ἡ τῆς γεννήσεως τοῦ Χριστοῦ ἡμέρα παραδεδομένη ἐστὶν ἐκ τῶν ἁγίων Ἀποστόλων· ἐν γὰρ πέμπτῳ βιβλίῳ τῶν Διατάξεων πρὸ τῶν λοιπῶν ἑορτῶν αὕτη τέτακται. Αἱ δὲ τῆς Θεοτόκου οὕτως ἐκ τῶν Πατέρων παρεδόθησαν ἢ ἐκ φήμης τινὸς ἢ καιροῦ ἢ τάξεως τῶν ἑορτῶν. Χρὴ δὲ μὴ τὴν πιστὴν ἐξετάζειν τοῦ μηνός, ἀλλ' ἁπασῶν τῶν ἡμερῶν τὴν ποσότητα· ἐπεὶ οἱ μὲν ἀνὰ τριάκοντα ἔχουσιν, οἱ δὲ πρὸς ταύταις καὶ μίαν, ὁ δὲ Φεβρουάριος δύο ἐνδεουσῶν· καὶ εἰς τοῦτο οὕτως ἔχει. Εὕροις ἂν καὶ τὴν τοῦ Χριστοῦ γέννησιν ἔξω τῶν ἐννέα μηνῶν ἡμέρᾳ μιᾷ, ἀναλύων πάσας τὰς τοῦ ἐνιαυτοῦ ἡμέρας, ἤτοι τοὺς δώδεκα μῆνας, εἰς τέσσαρα· τὰ γὰρ τρία καθ' ἑαυτὰ πολλαπλασιαζόμενα τὸν ἔνατον ἀπογεννῶσιν ἀριθμόν, τετραπλασιαζόμενα δέ, τὸν δωδέκατον. Τὴν δὲ τῆς Θεοτόκου, ποτὲ μὲν ἔσω τῶν ἐννέα μηνῶν, ποτὲ δ' οὔ· καὶ ἔξω, εἴπερ βίσεκτος ὁ χρόνος. Οὐδὲν δὲ τὸ κωλύον, ὥστε τὸν τοῦ ἐμβρύου χρόνον ἐλάττονα εἶναι ἢ μείζονα, εἴπερ οὐδὲ ἡ αὐτὴ ἐνέργεια τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος, οὐδὲ ἁπάντων τῶν ἐμβρύων ὁμοία ἡ κίνησις, ὥς φασιν οἱ περὶ ταῦτα δεινοί.

12) Κωδ. Ἀμβρ. 290f. 253r.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# XVII.

## ΠΩΣ ΕΝ ΜΕΝ ΤΗ͂Ι ΤΕΤΑΡΤΗ͂Ι ΚΑΙ ΤΗ͂Ι ΕΚΤΗ͂Ι ΗΜΕΡΑ͂Ι ΔΙΑ ΤΗΝ ΤΟΥ
f218r ΧΡΙΣΤΟΥ ΣΤΑΥΡΩΣΙΝ ΝΗΣΤΕΥΟΜΕΝ, ΤΟΥΝΑΝΤΙΟΝ ΔΕ ΕΝ ΤΑΙΣ ΜΝΗΜΑΙΣ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΑΒΡΟΤΕΡΑΣ ΜΕΤΑΛΑΜΒΑΝΟΜΕΝ ΤΡΟΦΗΣ, ΚΑΙΤΟΙ ΠΑΘΩΝ ΚΑΙ ΘΑΝΑΤΟΥ ΑΜΦΟΤΕΡΩΘΕΝ ΜΝΗΜΗ; ΚΑΤΑ ΣΕΒΗΡΙΑΝΩΝ ΚΑΙ ΚΑΤΑ ΤΟΥ ΦΡΑ ΛΟΥΤΕΡΗ, ΩΡΙΣΜΕΝΗΝ ΜΗ ΕΙΝΑΙ ΝΗΣΤΕΙΑΝ ΔΟΓΜΑΤΙΖΟΝΤΩΝ

Εἰδέναι χρή, ὅτι πρὸ τῆς Χριστοῦ ταφῆς καὶ ἀναστάσεως φοβερὸς ὁ θάνατος τοῖς ἀνθρώποις ὑπῆρχεν, ὡς κατ' αὐτῶν ἄδειαν λαβὼν διὰ τὴν τῆς θείας ἐντολῆς παράβασιν. Διὸ καὶ ὁ Χριστὸς τὴν ἀνθρωπίνην ἀσθένειαν ἐν ἑαυτῷ δεικνύων, μέλλων παραδοθῆναι εἰς θάνατον, ἠγωνία καὶ ἤσχαλλε. Μετὰ δὲ τὴν τοῦ Χριστοῦ ἀνάστασιν οὐκέτι θάνατος ἡ ἐντεῦθεν ἀπαλλαγὴ παρὰ τοῖς δικαίοις λογίζεται, ἀλλ' ὕπνος καὶ διάβασις πρὸς κρείττονα πολλῷ μᾶλλον ζωήν. Ἔνθέν τοι εἰς ἀνάμνησιν ἐρχόμενοι τοῦ πάθους Χριστοῦ ταπεινοῦμεν ἑαυτοὺς διὰ τῆς νηστείας καὶ πενθικῶς διάγομεν, μὴ ἐλθούσης τέως τῆς ἀναστάσεως τῆς λυσάσης τὰ λυπηρὰ καὶ χαρὰν ἀντεισαγαγούσης. Πέφυκε γὰρ τῇ τοῦ σώματος τήξει καὶ κακώσει συνταπεινοῦσθαι καὶ τὴν σύζυγον ψυχήν, ὡς γέγραπται «τῷ μηνὶ τῷ ἑβδόμῳ δεκάτῃ τοῦ μηνὸς κακώσετε τὰς ψυχὰς ὑμῶν».

Ἀνάμνησιν δὲ ποιοῦντας τῆς ἀθλήσεως τῶν Ἁγίων, οὐ δεῖ πενθεῖν καὶ σκυθρωπάζειν, ἀλλ' εὐφραίνεσθαι. Τῇ γὰρ ἀθλήσει ἕπονται τρόπαια καὶ βραβεῖα καὶ στέφανοι. Ἐνίκησαν γὰρ ὡς ἀληθῶς τὸν ἀντιπαρατατιόμενον ἐχθρὸν διὰ τοῦ κατὰ Χριστὸν θανάτου καὶ εἰς ἀμείνονα λῆξιν ἐντεῦθεν μετέβησαν καὶ αἰώνιον εὐφροσύνην. Διά τοι ‖ τοῦτο
f218v
καί τινες τῶν Μαρτύρων τὴν ἐπὶ τῷ τέλει ἀπαγόμενοι τοῖς ἰδίοις ἐπέσκηπτον μὴ πενθεῖν κατὰ τὴν ἡμέραν ἐν ᾗ διὰ ξίφους τῶν τῇδε ἀλγεινῶν καὶ πειρατηρίων ἐρρύσθησαν καὶ αὐτῷ Χριστῷ συνήφθησαν, τῷ τῶν ἐφετῶν ἀκροτάτῳ, ἀλλὰ μᾶλλον λαμπροφορεῖν καὶ πανήγυριν χαρμόσυνον ἄγειν τὴν τοιαύτην ἡμέραν. Οὕτω γὰρ καὶ ἡμεῖς, τινὸς τῶν συνήθων καὶ φίλων μακράν που διάγοντος, εἶτα παραγενομένου, δαψιλεστέρας καὶ πολυτελεστέρας συμμετέχομεν τῆς τροφῆς καὶ εὐφραινόμεθα τῇ τούτου ἐνδημίᾳ. Ταῦτα δὲ λέγω, οὐχ ἵνα εἰς τρυφὴν καὶ μέθην καὶ γέλωτας ἀτάκτους ἐκκλίνωμεν, ταῦτα γὰρ θεοστυγῆ καὶ τοῖς Μάρτυσιν ἀποθύμια, ἀλλ' οὕτω μετρίαν ἔσεσθαι τὴν εὐωχίαν, ὥστε μηδὲ τὴν κατὰ Θεὸν εὐλάβειαν καὶ πολιτείαν ἐντεῦθέν τι λυμαίνεσθαι.

[1]) **Κῶδ. Ἀμβρ. 290f. 218r—219r**

[23]) **διὰ τὸν κατὰ Χριστὸν θάνατον ] Α**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἐμοὶ δὲ δοκεῖ καὶ ἕτερόν τινα εἶναι τὸν τρόπον τῆς νομοθετηθείσης νηστείας. Ἐπεὶ γὰρ πανταχοῦ φαίνεται ὁ Χριστὸς τοὺς μὲν ἐμπεπλησμένους καὶ πλουσίους ταλανίζων, μακαρίζων δ' ἔμπαλιν τοὺς ἐνδεεῖς τῶν σωματικῶν, οὐκ εἰκῇ, ἀλλ' ὅτι οἱ μὲν πολλῶν δεόμενοι καὶ πολλὰ ἀναλίσκοντες εἰς ἀδικίας καὶ πάθη ἐξ ἀνάγκης ἐμπίπτουσιν οἱ δὲ ὀλιγοδεεῖς, ἀρκούμενοι τοῖς τυχοῦσιν, εὐμετάδοτοί εἰσι καὶ νηφάλαιοι, διὰ τοῦτο οἱ θεῖοι Ἀπόστολοι φάρμακον ὡσανεὶ τῆς ἀδηφαγίας καὶ σπατάλης τὴν νηστείαν ἐνομοθέτησαν πᾶσι τοῖς χριστιανοῖς καὶ κατὰ Θεὸν ἑλομένοις περιπατεῖν, τοῖς μὲν πλουσίοις χαλινόν, τοῖς πτωχοῖς δὲ παραμυθίαν. Ἐνομοθέτησαν δὲ οὐκ ἀδήλως οὐδ' ἀορίστως, ἵνα μὴ σύγχυσις ἔσται ἐν τοῖς χριστιανοῖς ἄλλων ἄλλοτε νηστευόντων τε καὶ καταλυόντων, ἀλλ' ἐν τεταγμέναις ἡμέραις. Ἁρμοδίας || δὲ διὰ f 219r νηστείαν ἐνόμισαν τὴν μὲν τετάρτην διὰ τὸ κατὰ Χριστοῦ συμβούλιον, τὴν δὲ ἕκτην διὰ τὸν ἐν σαρκὶ αὐτοῦ θάνατον, τὴν δὲ τεσσαρακοστὴν τῶν ἡμερῶν εἰς μνήμην τῆς αὐτοῦ πολιτείας τε καὶ νομοθεσίας, μεθ' ἣν τὴν τῶν ἁγίων παθῶν, πρὸ τοῦ Πάσχα δῆλον ὅτι, νηστείαν, ἀρχομένην ἄμφω ἀπὸ δευτέρας ἡμερῶν. Καὶ ὅρα μοι τὸν σκοπὸν τῶν ἁγίων Ἀποστόλων· ἐπείπερ οἱ μικροῖς ἀγῶσι γυμναζόμενοι καὶ τούτοις ἐθισθέντες, ἐφίενται πολλάκις καὶ μειζόνων τυχεῖν· τυχόντες δὲ τούτων καὶ ἱκανῶς δαμασθέντες δέονταί τινος ἀνακωχῆς, δῆλον ὅτι μετρίας, ἵνα μὴ διὰ τῆς ἀμέτρου μετὰ ταῦτα ἀναπαύσεως εἰς βλακείαν καὶ ῥαστώνην ἵκωνται, ταύτῃ οὗτοι δεόντως ἐν ἰδίῳ καιρῷ ἀρκοῦσαν ποσότητα ἡμερῶν ἔταξαν νηστεύειν ἡμᾶς. Ἐν ὅλῳ δὲ τῷ ἐνιαυτῷ δὶς τῆς ἑβδομάδος, ὡς εἴρηται, τοῖς ἀσθενέσι συγχωρήσαντες ἀναλόγως τῇ ἰδίᾳ ἀσθενείᾳ νηστεύειν. Ἐπεὶ καὶ ἀσθένεια καὶ νηστεία ἄμφω τῆξις σώματος καὶ ταπείνωσις.

---

15) Ἡ αἰτιολογία «εἰς μνήμην τῆς αὐτοῦ...δευτέρας ἡμερῶν» φέρεται κατακεχωρισμένη ἰδιοχείρως ἐν τῇ κάτω ᾤᾳ ἀντὶ τῆς ἐν τῷ κειμένῳ διαγραφείσης «καὶ ταύτην διὰ τὰ ἅγια πάθη, πρὸ γὰρ τοῦ ἁγίου Πάσχα τὴν μεγάλην ἑβδομάδα νηστεύομεν, καὶ πρὸ ταύτης τὴν τεσσαρακοστήν, καὶ ὅτι καὶ ὁ Χριστὸς ταύτην ἐνήστευσεν».

# XVIII

f 299r

## ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ Ἢ ΛΥΣΕΙΣ ΔΙΑΦΟΡΟΙ

### *Ἐρωταπόκρισις α΄.*

Τίνος χάριν τὸν σταυρὸν κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐν ἑαυτοῖς χαράττομεν προσκυνοῦντες, καὶ τίς ἡ τούτου σημασία, καὶ ὅθεν τούτου δεῖ ἄρχεσθαι, καὶ πῶς καταλήγειν, καὶ διὰ πόσων δακτύλων καὶ ποίας χειρὸς τοῦτον δεῖ χαράττειν.

Τῷ τιμίῳ σταυρῷ κατὰ τὸν καιρὸν τῆς προσευχῆς καὶ μᾶλλον κατ' ἀρχὰς σημειούμεθα ὡς ὀλετῆρι τῶν παθῶν τε καὶ πονηρῶν λογισμῶν, εἰς ἀποτροπὴν παντὸς δαιμονιώδους φάσματος καὶ σατανικῆς προσβολῆς. Φρίττει γὰρ τοῦτον ὁ Βελίας καὶ οἱ τούτου ὑπηρέται καὶ ἄσπονδοι ἐχθροὶ ἡμῶν, ὡς καταλύτην τῆς αὐτῶν δυναστείας τε καὶ τυραννίδος· καὶ ὥσπερ ὅπλον λοιπὸν τοῦτον περιφρασσόμεθα, μέλλοντες κατ' αὐτῶν ὁρμᾶν τῇ ἐπικλήσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἄλλως τε ἐπεὶ συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτημάτων ἡμῶν παρὰ Κυρίου αἰτούμεθα, δέον ἐστὶ τὸν σταυρὸν ὑποτυποῦν εἰς ἀνάμνησιν τοῦ πάθους αὐτοῦ, καὶ οἷόν τινα πρέσβυν προσφέρειν τοῦτον τῷ δεσπότῃ, διὰ τούτου δηλοῦντες, ὅτι διὰ τὴν ἡμετέραν σωτηρίαν ἐσταύρωται, καὶ τῷ σχήματι τούτῳ ὡσπερεὶ κράζοντες: Δέσποτα,
f 299v εἰ οὖν ‖ ὑπὲρ ἡμῶν τὰ πάθη κατεδέξω τὰ τίμια καὶ τὸ θεῖον αἷμα ἐξέχεας, μὴ παρίδῃς ἡμᾶς μετανοοῦντάς σοι, ἀλλ' ἵλεως ἡμῖν γενοῦ τοῖς σὲ παροργίσασιν. Ἐπεὶ δὲ καὶ μετανοίας καὶ προσευχῆς ἐστιν ὁ καιρός, ὡς εἴρηται, καὶ αὐτῷ τῷ Θεῷ μέλλομεν ἀμέσως ὁμιλεῖν, δεῖ ἡμᾶς καθαίρειν πᾶν ὕψωμα καὶ πάντα λογισμὸν ἐπαιρόμενον κατὰ τῆς θείας γνώσεως καὶ οἱονεὶ σταυροῦν ἑαυτοὺς καὶ νεκροῦσθαι τῷ κόσμῳ καὶ ταῖς σαρκικαῖς ἐπιθυμίαις, τοῦτο γὰρ καὶ δηλοῖ ὁ τοῦ σταυροῦ τύπος, καὶ οὕτως ἄρχεσθαι τῆς εὐχῆς. Καὶ ἄλλως, ἐπειδὴ Ἰουδαῖοι καὶ Σαρακηνοὶ καί τινες τῶν λοιπῶν αἱρέσεων προσκυνεῖν μὲν δοκοῦσι τῷ Θεῷ, οὐ μὴν δέ, ἀλλὰ μᾶλλον ἐφυβρίζουσι διὰ τῆς εἰς αὐτὸν βλασφημίας, τούτου χάριν ἡμεῖς ὡς πιστοὶ προσκυνοῦντες τῷ σταυρῷ σημειούμεθα, διὰ τούτου τὸ εὐσεβὲς ἡμῶν τῷ δεσπότῃ δεικνύοντες, ὡς ὅτι οὐκ ἐσμὲν τῶν αὐτὸν καὶ τὸν σταυρὸν αὐτοῦ ἀθετούντων. Ἐπεὶ δὲ καὶ προσκυνοῦντες εὐχόμεθα, τούτου ἕνεκα τὸν σταυρὸν τυποῦμεν κατὰ τὸν προειρημένον τρόπον. Ἡ δὲ προσκύνησις τὴν πρὸς τὸν Κύριον ὑποταγὴν καὶ εὐγνωμοσύνην σαφῶς διαδείκνυσιν. Εἰ γὰρ

**[1]) Κώδ. Βερ. 214 (Phil 1617) f. 299r — 305v, Ἀμβρ. 290f. 253r — 254v καὶ Ναν. 125f. 180r—182v.**

θνητῷ βασιλεῖ παριστάμενοι καὶ συντυγχάνοντες ἢ ἄλλως πως συναν- f 300r τήσαντες || τοῦτο δρῶμεν, πολλῷ μᾶλλον τῷ ἀθανάτῳ. Δεῖ δὲ ἐν τῷ σφραγίζειν ἑαυτοὺς ἀπὸ τῆς κεφαλῆς ἔμπροσθεν ἤτοι τοῦ μετώπου ἄρχεσθαι πρῶτον καὶ οὕτως ὀρθῶς κατάγειν τὴν χεῖρα ἐπὶ τὸ κάτω τοῦ στέρνου μέρος, εἶθ' οὕτως ἀνάγειν αὐτὴν λοξοειδῶς πρὸς τὸ μέσον, ἤγουν πρῶτον μὲν ἐν τῷ δεξιῷ μέρει τούτου, εἶτα μεταφέρειν αὐτὴν πλαγίως ἐπὶ τὸ ἀριστερόν, ὥστε τυποῦσθαι σταυρόν. Ἡ δὲ τούτου διασάφησις, ὡς ἐν προχείρῳ καὶ κατὰ τὸ φαινόμενον, ἐπεὶ οὐκ εὐθέτως πέφυκεν ἄλλως πως τυποῦσθαι. Κατὰ δὲ ἀκριβεστέραν ἔννοιαν, δεῖ πρῶτον ἐκ τῆς κεφαλῆς ἄρχεσθαι, διὰ τὸ κυριώτερον μέρος τοῦτο ὑπάρχειν τοῦ σώματος καὶ αἰσθητήριον, καὶ οὕτως ἐπὶ τὰ ἐλάχιστα μέρη καταλήγειν, κατὰ τὸν αὐτὸν δὴ τρόπον, καὶ ἐκ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ μεταβαίνομεν. Οὕτω γὰρ καὶ ἐν πολέμοις εἰώθασι τὰ κυριώτερα μέρη φυλάσσειν ἐξόχως καὶ περιφράττειν καί, ὡς ἔπος εἰπεῖν, ὁ τόπος, ἐν ᾧ τὸν τίμιον σταυρὸν τυποῦμεν, ὁ ἐκ τῆς ὀσφύος καὶ ἄνω διώρισται, διὰ τὸ κυριώτερον εἶναι τοῦτο τὸ μέρος καὶ τιμιώτερον τοῦ λοιποῦ σώματος. Διὸ οὐδὲ ὑπερβαίνειν || δεῖ ταῦτα f 300v τὰ ὅρια, ὥς τινες τῶν ἀπαιδεύτων τοῦτο ποιοῦσιν, ἀμελῶς πως καὶ καταφρονητικῶς τὴν χεῖρα περὶ τὸ στέρνον στρέφοντες καὶ οὕτως ἐπὶ τοὺς πόδας κατάγοντες. Τὸ δὲ διὰ πόσων δακτύλων, οὐκ ἐζήτηται παρὰ τοῖς πολλοῖς, ἀλλὰ μόνον τὸ διὰ τῆς δεξιᾶς χειρὸς ὡς χρησιμοτέρας καὶ τελεσιουργικῆς τῶν καθ' ἡμᾶς ἔργων. Ἄλλως τε δεῖ καὶ πάντα ἡμῶν τὰ κάλλιστά τε καὶ προτιμότερα προσφέρειν τῷ ποιητῇ ἡμῶν καὶ δεσπότῃ, καθ' ἃ καὶ Ἄβελ ἐποίει, καὶ μὴ ὡς Κάϊν ἁπλῶς τὰ τυχόντα. Εἰ δέ τις ἀσθενής ἐστι τῇ δεξιᾷ, μὴ ἀπαναινέτω τοῦτο ποιεῖν τὸ ἀξιάγαστον ἔργον διὰ τῆς ἀριστερᾶς, ἐπεὶ καὶ αὕτη τῆς δευτέρας τάξεως ἔλαχε παρὰ τοῦ δημιουργοῦ, ὥστε τὰ ὑστερήματα τῆς δεξιᾶς ἀναπληροῦν· καὶ ταύτης ὡς εἰκὸς ἀντιλαμβάνεσθαι. Τινὲς δὲ διὰ τῶν τριῶν δακτύλων τοῦτον χαράττουσι, τοῦ τε μεγάλου, τοῦ καὶ ἀντίχειρος λεγομένου, καὶ τῶν μετ' αὐτὸν δύο, τοῦ λιχανοῦ φημι καὶ τοῦ μέσου, ὡς χρησιμοτέρων, ἢ διὰ τὸ ἐκ τριῶν εἰδῶν, ὡς οἶμαι, ξύλων τοῦτον σταυρῷ ἡρμῶσθαι ἢ καὶ ὅτι δι' αὐτοῦ ἐπέγνωμεν τὴν Ἁγίαν Τριάδα. Ἄλλως τε καὶ πᾶν τὸ τριπλοῦν στερεώτερον καὶ συμφυέστερον πέφυκεν ἐν πᾶσιν. Οὐ μόνον δὲ ἐν τῷ καιρῷ τῆς προσευχῆς χρὴ καθοπλίζεσθαι τῷ τοῦ σταυροῦ τύπῳ, || ἀλλ' ἐν ἔργῳ παντί. Δεῖ δὲ f 301r εἰδέναι, ὅτι Ἰακωβῖται ὡς μίαν φύσιν ἐπὶ τοῦ Χριστοῦ πρεσβεύοντες, διὰ τοῦ ἑνὸς δακτύλου σφραγίζουσιν ἑαυτούς, καὶ ἐκ τῶν ἀριστερῶν

²) ἐν τῇ ᾤᾳ: κατὰ Λατίνων, ἄλλως ποιούντων.

ἐπὶ τὰ δεξιὰ κινοῦσι τὴν χεῖρα. Ὅθεν τινὲς εἰς δήλωσιν τῶν δύο φύσεων διὰ τῶν δύο δακτύλων σφραγίζονται. Οὐκ οἶδα δὲ εἰ καλῶς ποιοῦσιν· ἴδιον γὰρ οἶμαι τοῦτο τῆς ἱερᾶς εὐλογίας.

### *Ἐρωταπόκρισις β΄.*

Περὶ τῆς κατὰ ἀνατολὰς προσκυνήσεως.

Προσκυνοῦντες δὲ κατὰ ἀνατολάς, οὔτε τὸν ἥλιον προσκυνοῦμεν, οὐδέ τι τῶν λοιπῶν ἄστρων. Ἐπεὶ οὐκ ἂν πάντοτε κατὰ ἀνατολὰς προσεκυνοῦμεν, εἰ τοῦτο ἦν, ἀλλὰ καθ᾿ ὃ μέρος τὸ ἄστρον τὴν πορείαν ποιεῖται, οἷον ποτὲ μὲν ἐν τῇ ἀνατολῇ, ποτὲ δὲ ἐν μεσημβρίᾳ, καὶ ποτὲ μὲν ἐν τῇ δύσει, ἄλλοτε δὲ κατὰ ἄρκτον, ἀλλὰ τὸν ἐπιφανέντα ἡμῖν ἐξ ὕψους Κύριον τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου. Ὥσπερ γὰρ οἱ προφῆται τὸ τῆς ἀνατολῆς ὄνομα αὐτῷ προστεθείκασιν ἁρμοδίως διά τινα λόγον ὑψηλότερον, οὕτω καὶ ἡμεῖς ταύτην εἰς προσκύνησιν αὐτῷ ἀνεθέμεθα. Δηλοῖ δὲ ἡ κατὰ ἀνατολὰς προσκύνησις τὸ τῆς πίστεως ἡμῶν σταθερὸν καὶ τὴν ἐσαεὶ ἀνανέωσιν καὶ αὔξησιν τοῦ Εὐαγγελίου καὶ τὴν εἰς τὸν Παράδεισον ἡμῶν παλινδρομήν, καὶ ὡς ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ Θεὸς ἡμῶν, ἀεὶ ἀνατέλλει ἐν τῇ καθ᾿ ἡμᾶς Ἐκκλησίᾳ, φωτίζων αὐτήν, καὶ ὅτι τὸ τῆς οἰκονομίας αὐτοῦ μυστήριον
1v ἀρχαῖον ἐστὶ || καὶ προοίμιον τῆς μελλούσης ἀποκαταστάσεώς τε καὶ
βασιλείας. Ἐπεὶ καὶ ἀνατολὴ ἀρχὴ τῆς ἡμέρας ἐστίν· ὥσπερ δῆτα καὶ ἡ δύσις ἐδήλου παρ᾿ Ἰουδαίοις τὴν συμβησομένην αὐτοῖς τοῦ νοητοῦ ἡλίου στέρησιν καὶ κατάπαυσιν τῆς νομικῆς λατρείας· καὶ ὅτι ἐν συγκρίσει, καθ᾿ ὅσον διαφέρει νὺξ τῆς ἡμέρας, κατὰ τοσοῦτον ἡ πάλαι σκιὰ τῆς παρ᾿ ἡμῶν χάριτος.

### *Ἐρωταπόκρισις γ΄.*

κς Πῶς πολλάκις τοῦ Χριστοῦ νεκροὺς ἀναστήσαντος, οὐδεμίαν τούτων ἔγερσιν ἑορτάζομεν ὡς τοῦ Λαζάρου, καὶ εἰ διὰ τὴν βαϊφόρον ταύτην προεορτάζομεν, ὥς φασί τινες, ἢ οὔ.

κς Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, βουλόμενος πιστῶσαι καὶ προβεβαιῶσαι τὴν αὐτοῦ καὶ πάντων κοινὴν ἐξανάστασιν, πρὸ τοῦ πάθους ἤγειρε τὸν Λάζαρον ἐκ νεκρῶν. Εἰ γὰρ καὶ πρὸ τούτου πολλοὺς τῶν νεκρῶν ἀνέστησεν, ἀλλ᾿ οὐχὶ καὶ ἐκ τῶν μνημάτων. Ἐπεὶ τοῦτο μᾶλλον ἦν τύπος τῆς κοινῆς ἀναστάσεως, τὸ ἐκ τοῦ μνήματος ἀναστῆναι. Διὸ καὶ ἔλεγε τοῖς ἀποσταλθεῖσιν, «αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνα-

12) Ἐν τῇ φα: τῷ Ζαχαρίᾳ    31) Ἰωάν. 11,4

ΙΩΑΝΝΙΝΑ 2006

τον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ δι' αὐτῆς», δεικνὺς καὶ ἐν τούτῳ ὅτι Θεὸς ἐστιν ἀληθὴς σὺν Πατρὶ διὰ τῶν αὐτῶν ἐνεργειῶν δοξαζόμενος. Ὅθεν καὶ τοῦ θαύματος γενομένου ὡς παραδόξου λίαν καὶ καινοῦ καὶ οὐδὲ ἐν τοῖς προφήταις τοιούτου γενομένου ποτέ, οὐ μόνον οἱ συνεληλυθότες ἅπαντες Ἰουδαῖοι πιστεύουσιν, || ἀλλὰ καὶ τοῖς μὴ θεασαμένοις κηρύξαντες πολλοὺς ἤγειραν (f 302r) πρὸς ὑπάντησιν. «Ἐμαρτύρει οὖν, φησίν, ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον». Ἐπεὶ οὖν διὰ τὴν τοῦ Λαζάρου ἔγερσιν οἱ μὲν ἐκ τῆς πόλεως ὑπήντησαν μετὰ κλάδων φοινίκων, οἱ δὲ ἐν τῇ ὁδῷ μετὰ τῶν ἐλαιῶν, φανερὸν ὅτι οὐ τὴν τοῦ Λαζάρου ἔγερσιν ἑορτάζομεν διὰ τὴν βαϊφόρον, ἀλλὰ τὴν βαϊφόρον διὰ τὴν ἔγερσιν. Αὐτὴν δὲ τοῦ Λαζάρου τὴν ἔγερσιν οὐ τοσοῦτον ἑορτάζομεν διὰ τὸν Λάζαρον, ὅσον διὰ τὸ γεγονέναι ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ. Δόξα γὰρ τοῦ Θεοῦ ἡ τῶν νεκρῶν, ὡς εἴρηται, ἀνάστασις. «Οὐ γάρ ἐστι, φησίν, ὁ Θεός, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων». Ἐπεί, οὐδὲ νεκροί, κατὰ τὸν προφήτην, αἰνέσουσι τὸν Κύριον, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς Ἅδην, ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον· ὡς τὸ «καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρὸς ἀμήν». Ληπτέον ἐνταῦθα τὸ ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ, ἀντὶ τοῦ ἵνα γνωσθῇ καὶ φανερωθῇ. Καὶ γὰρ ἐκ τῶν ἐνεργειῶν αὐτοῦ ὁ Θεὸς γινώσκεται καὶ καταλαμβάνεται, ἐπεὶ τῇ φύσει ἀκατάληπτός ἐστιν. Ἐντεῦθεν οὖν καταλαμβανόμενός τε καὶ γινωσκόμενος παρ' ἡμῶν θαυμάζεται καὶ δοξάζεται || . Λαμπροτέρα δέ πως δοκεῖ ἡ τῶν βαΐων ἑορτὴ ὑπὲρ τὴν τῆς τοῦ Λαζάρου ἐγέρσεως, οὐ μόνον (f 302v) διότι ἐγγὺς τῆς πόλεως καὶ τοῦ πάθους ἐξετελέσθη μᾶλλον, ἀλλὰ καὶ διὰ τὴν τῶν ἡμερῶν κυρίαν.

## *Ἐρωταπόκρισις δ'.*

(Ἐρώτησις) Τίνος ἕνεκα ἐν ἁπάσαις μὲν ταῖς Κυριακαῖς τοῦ ὅλου ἐνιαυτοῦ κατὰ τὸν ὄρθρον ἀναστάσιμον Εὐαγγέλιον ἀναγινώσκεται, ἐν δὲ τῇ μεγάλῃ Κυριακῇ οὐδαμῶς;

(Ἀπόκρισις) Ὅτι ἐν ταῖς ἄλλαις Κυριακαῖς οὔτε πρὸ τοῦ ὄρθρου οὔτε μετὰ τὸν ὄρθρον Εὐαγγέλιον ἀναστάσιμον ἀναγινώσκεται, ἐν δὲ τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ καὶ πρὸ τοῦ ὄρθρου, ἤτοι μετὰ τὴν τοῦ Σαββά-

7) Ἰωάν. 12,17  16) Ματθ. 22,32  17) Ψαλμ. 113,17  19) Φιλιπ. 2,11

13) βαϊοφόρον ] Β

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ... Ε.ΥΓΟΥΣΤΙΝΟΣ ... ΙΩΑΝΝΙΝΑ 2006

του ἑσπέραν, καὶ μετὰ τὸν ὄρθρον, ἤτοι κατὰ τὸ τέλος τῆς Κυριακῆς ἡμέρας, ἀναγνώσκεται, καὶ ὅτι ἐν τῷ ὄρθρῳ τῆς ἁγίας καὶ ἀναστασίμου ἡμέρας, ὡς τοῦ Χριστὸς ἀνέστη ἐκφωνουμένου παρά τε τοῦ ἱερέως καὶ τοῦ λοιποῦ λαοῦ μετὰ φώτων σημαινόντων τὴν ἀνάστασιν καὶ ἀναπληρούντων τὴν τοῦ Εὐαγγελίου στέρησιν, περιττὸν ἔδοξε τοῖς Πατράσιν ἡ τοῦ ἀναστασίμου Εὐαγγελίου ἀνάγνωσις, διττοῖς τε, ὡς ἔφημεν, ἀναστασίμοις εὐαγγελίοις περιστοιχουμένης καὶ αὐτῶν τῶν τῆς ἀναστάσεως προσφωνημάτων τε καὶ συμβόλων τελουμένων κατὰ τὸν ὄρθρον, ὅπερ ἐν οὐδεμιᾷ τῶν ἄλλων Κυριακῶν τοῦ ἐνιαυτοῦ γίνεται οὕτως.

### Ἐρωταπόκρισις ε΄.

303r

ἐρώτησις Τίνος ἕνεκεν ἑορτῆς ἐσομένης τῇ ἐπαύριον, ἀφ' ἑσπέρας τῶν ὕμνων ἀρχόμεθα;

ἀπόκρισις Ὥσπερ τις βασιλέα μέλλων ὑποδέχεσθαι ἤ τινα τῶν ἐν τέλει ἢ τῶν φιλουμένων ἀφ' ἑσπέρας εὐτρεπίζει τὰ πρὸς ὑποδοχήν, οὐ μὴν δὲ ἀλλὰ καὶ πρὶν ἢ εἰσιέναι ἢ πλησιάσαι τῇ οἰκίᾳ ὁ ὑποδεχθησόμενος ἐξελθὼν εἰς ὑπάντησιν αὐτοῦ πολὺ ἔτι ἀπέχοντος, ὡς εἰκός, ἀσπάζεται καὶ μετὰ τῆς προσηκούσης εὐλαβείας συνοδεύει αὐτῷ μέχρις οὗ καταλάβωσι τὸν ὡρισμένον τόπον, οὕτω τὰ εἰς ἑστίασιν καὶ τὴν λοιπὴν ἀνάπαυσιν προτίθησι, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς πρὸ τοῦ ἐπιστῆναι τὴν ἑορτὴν τὰ προσήκοντα τελοῦμεν, μετὰ δὲ ταῦτα τὴν θείαν ἐκτελοῦμεν λειτουργίαν, εὐφραινόμενοι πνευματικῶς.

### Ἐρωταπόκρισις ϛ΄.

ἐρώτησις Πῶς τινὲς τῶν Πατέρων ἐπιτρέπουσιν ἡμῖν τὸ ᾆσμα τῶν τροπαρίων, τινὲς δ' αὖ κωλύουσιν ὡς ἀσύμφορον καὶ κοσμικόν;

ἀπόκρισις Καὶ τοῦτο κατὰ τὴν ἑκάστου πολιτείαν καὶ ἕξιν ἁρμόδιον. Πρὸς γὰρ τὰς ἄλλας ἀρετάς, οἷον ἀνάγνωσιν, προσευχὴν ἀρέμβαστον καὶ τὰς ὡσαύτως ἐχούσας, ἐλλιπὲς μέν ἐστιν, ἀλλ' ὅμως χρήσιμον, ὥσπερ καὶ τὸ γάλα πρὸς τὴν ἀτελῆ τῶν βρεφῶν ἡλικίαν, τῶν μὴ δυναμένων ἐσθίειν στερεὰν τροφήν. Δεῖ δὲ μὴ διὰ παντὸς κεχρῆσθαι τῷ ᾄσματι, ἀλλ' ἐκ διαλείμματος· τὸ γὰρ συνεχὲς σκότωσιν καὶ ἀηδίαν ποιεῖ. Τὰ δὲ τερετίσματα καὶ τὰ τούτοις ὅμοια παντελῶς ἀπηγόρευται, ὡς θρυπτικά.

### Ἐρωταπόκρισις ζ΄.

f 303v

ἐρώτησις Πῶς δεῖ ἀπαντᾶν τοῖς λέγουσιν οὐδὲν συντελεῖν πρὸς κατάληψιν

[35]) ἐν τῇ ᾤᾳ: κατὰ Βογομίλων καὶ Καρτάνου, τοῦ. . . . (4 λέξεις ἐξίτηλοι)

ΙΩΑΝΝΙΝΑ 2006

τῆς θείας Γραφῆς τὴν ἔντεχνον λέξιν τε καὶ σύνθεσιν, καὶ εἰ ἔστιν ἄλλως γράφειν ἢ οὔ;

Οὐκ ἔστιν ἄλλως γράφειν, εἰ μὴ κατὰ τὴν ἀρχαίαν παράδοσιν καὶ διακράτησιν· οὐδὲ γὰρ οἱ παλαιοὶ εἰκῇ καὶ μάτην ποιοῦντες τουτὶ τὸ ἀξιάγαστον καὶ ἀξιέραστον ἔργον, τὴν γραμματικὴν φημι συντάξαντες τοῖς μετέπειτα καταλελοίπασιν. Ἔστι γὰρ ἰδεῖν ἐν αὐτῇ τόνων τε καὶ πνευμάτων καὶ ἀντιστίχων διαφοράν, δι' ὧν αἱ λέξεις ἀλλήλων τῇ φωνῇ ἢ τῷ σημαινομένῳ διακεκριμέναι εἰσί, καὶ πᾶσαν ἁρμονίαν τῶν τοῦ λόγου μερῶν καλῶς διηυκρινημένην, οἷον πόσοι οἱ τρόποι καὶ τὰ εἴδη τούτων καὶ πόσα ἑκάστῳ παρέπεται, αὐτὰ δὲ τὰ παρεπόμενα εἰς πόσα διαιροῦνται καὶ πῶς ἀλλήλοις συντάσσονται· ἅπερ, εἰ μὴ οὕτως ἦν ἕκαστα διωρισμένα, μυρίοις ἔμελλον περιπίπτειν ἀτοπήμασιν καὶ παραλογισμοῖς οἱ γράφοντές τε καὶ ἀναγινώσκοντες διὰ τὸ στενὸν τῆς διαλέκτου καὶ τὴν οἰκειότητα τῶν λέξεων. Διὸ καί τινες τῶν βαρβάρων οὐ παραιτοῦνται μανθάνειν τὴν ἑλληνικὴν παιδείαν, τῆς σφῶν διαλέκτου στενῆς καὶ ἀκανονίστου οὔσης. Ἀλλ' ἵνα τί, φησίν, οὐ παρέδωκαν || ἡμῖν λέξεις τὰς συνήθεις, ἀλλ' ἑτέρας ἀγνώστους; Καὶ f 304r τοῦτο οὐκ ἀφ' ἑαυτῶν πεποιήκασιν, ἀλλὰ καὶ μάλα σοφῶς· τῆς γὰρ ἑλλάδος φωνῆς κατὰ διαφόρους πατριὰς καὶ χώρας ἐναλλαττούσης, πᾶσαν καλῶς σκοπήσαντες τὰς χρησιμοτέρας ταύτας ἡμῖν λέξεις παρέδωκαν· διὸ ὡς ἐκ πολλῶν διαλέκτων συνηθροισμέναι, ἐν τῷ τυχόντι πᾶσαι εἰσὶ κατάδηλοι. Εἰ δὲ καὶ τινὲς εἰσιν, ὡς δοκοῦσιν, ἐκτὸς τούτων ἀνόμοιοι, ἀλλ' ἐξ αὐτῶν καὶ αὗταί εἰσι, παράγωγοι δῆλον ὅτι καὶ σύνθετοι, ὡς μὴ ἐξαρκουσῶν τῶν ἁπλῶν καὶ πρωτοτύπων. Ὡς δέ μοι γε δοκεῖ, ὅτι εἰ ἁπλῆ καὶ ἀποίκιλος ἦν ἡ λέξις, ἐνενόθευτο ἂν καὶ ἠφάνιστο ἡ Γραφὴ τῇ τῶν πολλῶν ἀγροικίᾳ καὶ ἑκάστου δόξῃ, παίδων φημὶ καὶ γυναικῶν καὶ τῶν λοιπῶν ἀγροίκων καὶ ἀγυμνάστων. Ὅπου γε καὶ οὕτως ἐχούσης τολμῶσι τινὲς μεταρρυθμίζειν ἐξ ἰδίας ὑπερηφανίας καὶ μᾶλλον βλακότητος, δοκοῦντες ἐν τούτῳ σοφώτεροι εἶναι τῶν προεκδεδωκότων αὐτήν, μὴ εἰδότες οἱ ἄθλιοι εἰς οἷον βόθυνον ἑαυτοὺς ἐπιρρίπτουσι. Καὶ γὰρ εἰ τὸν κακῶς καὶ διεστραμμένως τὸν νοῦν τῆς Γραφῆς ἐκλαμβάνοντα ἀφορισμῷ καὶ ἀναθέματι οἱ θεῖοι Πατέρες καθυποβάλλουσι, ποίας δίκης ἄρα ἀξιωθήσεται ὁ τὴν Γραφὴν μεταποιῶν καὶ μᾶλλον ἀφανίζων διὰ τῆς καινῆς καὶ ἀλλοκότου ἐννοίας καὶ τροπολογίας καὶ τοσούτων αἴτιος βλάβης καὶ || ἀπωλείας γενόμενος; Καὶ εἰ ὁ ἕνα τῶν πολλῶν σκανδαλίζων ἄξιος ποντισμοῦ, f 304v κατὰ τὴν τοῦ Σωτῆρος ἀψευδῆ ῥῆσιν, ὁ μυρίους καὶ οὐ τοὺς τυχόντας ποῦ θήσεται; Σοὶ μὲν γὰρ ἴσως δοκεῖ κατὰ τὴν ἐπιχώριον διάλεκτον

Ἀπόκρισις